UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Timotheo Lectori. 454.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

uatorem ſonat. Siquidem, eorum, qui peccauerunt, ſalutis cauſa huiuſmodi adminiſtratione perfungar.

ἐπὶ σωτηρίᾳ γὰρ τῶν ἁμαρτόντων τὴν οἰκονομίαν ἐκείνην ποιήσομαι.

Timotheo Lectori. 454.

Τιμοθέῳ ἀναγνώστῃ. υνδ.

Non falſa dũtaxat accuſatio, ô vas Dei, verùm etiam veriſſima, ſi aduerſus patrem ſolum fiat, parricidio exitium parturit, ve-
Geneſ. 9. lut Chamo accuſatio Noë. A qua cùm Sem & Iapheth, & tu item illorum propugnator & cohæres, puros atque immunes vos præbueritis, contractámque ex temulentia labem ac fœditatem contexeritis, vnam & eandem benedictionem meritò conſequemini.

Οὐ ψευδὴς μόνη κατηγορία, ὦ σκεῦος θεοῦ, ἀλλὰ καὶ κομιδῇ ἀληθὴς, εἰ κατὰ πατρὸς γένοιτο μόνον, ὄλεθρον τῷ πατραλοίᾳ ὠδίνει, ὡς τῷ Χὰμ, ἡ τοῦ Νῶε, ἧς καθαρεύσαντες Σὴμ καὶ Ἰάφεθ, καὶ σὺ ὁ ἐκείνων συναγωνιστὴς καὶ συγκληρονόμος, καὶ τὴν ἐκ μέθης σκεπάσαντες παροινίαν, μιᾶς καὶ ὁμοίας ἀξιωθήσεσθαι εὐλογίας εἰκότως.

Symmacho. 455.

Συμμάχῳ. υνε.

Quæ & rarò atque ægrè comparantur, vt ingentis pretii, & cum difficultate conſeruantur, vt inſidiis obnoxia, & eundem, quem vilia, exiguíque pretij, vſum habent, hæc nõ modò à Chriſtianorum opibus & poſſeſſione, verùm etiam ab oculis atque affectu remota eſſe conuenit: vt quæ & cõferendis in pauperes beneficiis labem afferant, & iis, à quibus poſſidentur, ſalutem inuideant.

Ὅσα καὶ κτᾶται σπανίως, ὡς πολύτιμα, καὶ τηρεῖται δυσκόλως, ὡς ἐπίβουλα, καὶ τὴν αὐτὴν ἔχει χρῆσιν τοῖς εὐτελέσι καὶ εὐώνοις, ταῦτα Χριστιανῶν οὐ κτήσεως μόνον, ἀλλὰ καὶ ὄψεως ἠλλοτριῶσθαι προσήκει· οἷα ταῖς μὲν εἰς τοὺς πένητας λυμαινόμενα εὐποιΐαις, τοῖς δὲ κεκτημένοις βασκαίνοντα τῆς σωτηρίας.

Palladio Diacono. 456.

Παλλαδίῳ διακόνῳ. υνϛ.

Comeſſatio, vir amice, eſt tibiæ cantus cum largiore vino ad voluptatem & libidinem extimulans, ac conuiuium in fœdũ & obſcœnum theatrum mutans, atque per cymbala quædam & inſtrumenta ad fraudem accommodata conuiuas mulcens
Galat. 5. ac deliniens. Quam eos, qui ipſa vtuntur, à cæleſti regno excluſuram eſſe, literis ſacris proditũ eſt, quemadmodũ ipſe noſti.

Κῶμός ἐστιν, ὦ φιλότης, μεθυστικὸς αὐλὸς, ἐγχρονίζοντος οἴνου, ἐρεθίζων τὴν ἡδυπάθειαν, καὶ θέατρον ἄσχημον ποιῶν τὸ συμπόσιον, κυμβάλοις τισὶ καὶ ὀργάνοις ἀπάτης καταθέλγων τοὺς δαιτυμόνας, ὃς ἐξωστήσειν τῆς βασιλείας τοὺς χρωμένους αὐτῷ γέγραπται, ὡς ἐπίστασαι.

Eidem. 457.

Τῷ αὐτῷ. υνζ.

Pſal. 150 Si Muſicæ illius, de qua Scriptura loquitur, explanationem quæris, ad hunc modum intellige. Laudate Dominum in ſono tubæ: hoc eſt in memoria reſurrectionis, quæ tuba fiet, vt Scriptura teſtatur. Laudate eum in pſalterio & cithara:

Εἰ τῆς γραφικῆς ζητεῖς μουσικῆς διασάφησιν, οὕτω νοητέον, αἰνεῖτε τὸν κύριον ἐν ἤχῳ σάλπιγγος, ἐν τῇ μνήμῃ τῆς ἀναστάσεως, σάλπιγγι γενησομένης, ὡς γέγραπται· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ, τῇ γλώσσῃ

ἡμῶν